σταθμὸν μὴ κρούειν ἑτερόζυγον, ἀλλ᾿ ἴσον ἕλκειν.
μὴ δ᾿ ἐπιορκήσηις μήτ᾿ ἀγνὼς μήτε ἑκοντί·
ψεύδορκον στυγέει θεὸς ἄμβροτος ὅστις ὀμόσσηι.
σπέρματα μὴ κλέπτειν· ἐπαράσιμος ὅστις ἕληται.
μισθὸν μοχθήσαντι δίδου, μὴ θλῖβε πένητα.
γλώσσηι νοῦν ἐχέμεν, κρυπτὸν λόγον ἐν φρεσὶν ἴσχειν.
μήτ᾿ ἀδικεῖν ἐθέληις μήτ᾿ οὖν ἀδικοῦντα ἐάσηις.
πτωχῶι δ᾿ εὐθὺ δίδου μὴ δ᾿ αὔριον ἐλθέμεν εἴπηις·
πληρώσει σέο χεῖρ᾿. ἔλεον χρήιζοντι παράσχου.
ἄστεγον εἰς οἶκον δέξαι καὶ τυφλὸν ὁδήγει.
ναυηγοὺς οἴκτιρον, ἐπεὶ πλόος ἐστὶν ἄδηλος.
χεῖρα πεσόντι δίδου, σῶσον δ᾿ ἀπερίστατον ἄνδρα.



SLUB Wir führen Wissen. http://digital.slub-dresden.de/id40454875X/103 UNIVERSITÄT LEIPZIG